# TEZAUR LITURGIC

## 3 MAI

# EGKOMIA SF.MUCENICI TIMOTEI ŞI MAVRA DE LA THEBAIDA

ATENA,2020

www.tezaurliturgic.ro



# 3 ΜΑΙΟΥ

# ΤΙΜΟΘΕΟΥ ΚΑΙ ΜΑΥΡΑΣ ΜΑΡΤΥΡΩΝ

# ΕΓΚΩΜΙΑ

## Στάσις α΄.

Ἦχος α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Τῆς ζωῆς τοῦ κόσμου, ἐγερθεῖσης φρικῶς, οἷά περ προειῤῥηκείας ἐκ μνήματος, μνήμη ἤυγασε τῶν θείων Ἀθλητῶν.

Ὦ δυὰς Ἁγία, Μαῦρα Μάρτυς Χριστοῦ, σὺν συνεύνῳ τῷ λαμπρῷ Τιμοθέῳ νῦν, διασώσατε ἡμᾶς ἐκ τῶν δεινῶν.

Στρατευθεῖσα πλάνη, κατὰ πάντων πιστῶν, ἠδαφίσθῃ ξυνωρίδος παλαίσμασι, Τιμοθέου τε καὶ Μαύρας τῆς στεῤῥᾶς.

Εἷς ὑπάρχει κόσμου, Ποιητὴς ὁ Χριστὸς, ἔργα δὲ ἀνθρώπων πέλει τὰ εἴδωλα, Μαῦρα ἔκραζεν εἰς ὄψιν δυσμενῶν.

Αὐτοκλήτως ἧκες ὦ δυὰς ἱερὰ, ὄντως εἰς τοὺς αἰκισμοὺς, καὶ τὰ σκάμματα, ἀπτοήτως κηρύττουσα τὸν Χριστὸν,

Τὰς μετεωρήσεις, τροχοῦ Μαῦρα σοφῶς, οἷα ἀναβάσεις λελόγισαι, ταύτας ὁδηγούσας εἰς οὐρανὸν.

Οὐ θωπεῖαι Μαῦρα, οὐκ αἰκίαι δειναί, οὐκ αὐτός τε ὁ βίαιος θάνατος, ὅλως ἴσχυσε χωρῆσαί σε Χριστοῦ.

Σιλωὰμ ὡς ἄλλος ὁ ναός σου σεμνὴ, Μαῦρα Ἀθληφόρε γνωρίζεται, τοὺς νοσοῦντας, ἐξιώμενος πιστούς.

Φρέατι πεσοῦσαν, δαιμονῶσαν δεινῶς, Μαῦρα ταῖς φριξὶ τῆς κεφαλῆς ταύτην δράξασα, διεφύλαξας θανάτοιν τοῖν ἀμφοῖν.
Εἰ ὁ κώδων μέγας, τοῦ ναοῦ σου σεμνὴ, ἀλλ᾽ ὕψος ὡς πεσὼν, κατὰ κάραν παιδὸς, οὐ συνέθλασεν αὐτὴν περ οὐδαμῶς.

Δόξα.

Ἐν μιᾷ οὐσίᾳ, τὴν Τριάδα τρανῶς, καὶ τρισὶ ταῖς ὑποστάσεσι πέλουσαν, ἀνεκήρυξας ὦ Μαῦρα σταθερῶς.

Καὶ νῦν.

Παναγία Κόρη, ἡ ἐλπὶς τῶν πιστῶν, δυσωπῶ Σε ἐν ἡμέρα κρίσεως φάνηθι, προστασία μου, καὶ γὰρ πέλεις Ἀγαθὴ.

## **Στάσις β΄.**

Ἄξιον ἐστίν.

Ὤφθης προσφορὰ, καὶ δεκτὴ θυσία Μάρτυς Μαῦρα, ἱερεῖον ἄμωμον Χριστῷ τῷ Θεῷ, ὁλοκάρπωσις καὶ θῦμα καθαρὸν.
Σκρῆπτον τὸν Σταυρὸν, ἐν χερσὶ κατέχων θεῖον ζεῦγος, κατὰ τῆς ἀπάτης εἴδώλων ἐστράτευσας, καὶ τὸ τρόπαιον ἀνύψωσας λαμπρῶς.
Ἥλιος σαφῶς, σὺ ὁλόφωτος ὤφθης ὦ Μαῦρα, ἀμαυρώσασα εἰδώλων σκοτόμαιναν· σελασφόροις σου, ἀκτῖσι ταῖς ἱεραῖς.
Παῖδας θαυμαστῶς ὑψοῤῥόφου ἐκπεσόντα πύργου, τῶν κωδώνων σοῦ ναοῦ Μαῦρα ἔσωσας, βοηθόν σε

ἐπικαλεσάμενον εὐλαβῶς.
Σήμερον λαμπρῶς, πεναπέων ἑορτάζει κώμη, ἄθλησίν σου Μαῦρα ἀήττητε, σὺν αὐτῇ δὲ, καὶ ἡ Μαχαιράδων περιχαρῶς.
Δῆμος τῶν πιστῶν, ἐν σοί γέγηθε Μαῦρα στεῤῥόφρων, κτησάμενός σε μεσίτιν πρὸς Κύριον, καὶ προστάτιν, καὶ ἀκεστρίδα τῶν παθῶν.
Κόμει καυστικῇ, πυρπολήσαι σὸν ναὸν Μαῦρα Βελίαρ, φθόνῳ βουληθεὶς δεινὸν οὐδὲν ἔδρασε, τῆς φλογὸς φυγαδευσάσης διὰ σοῦ.
Στῖφος εὐσεβῶν, συνελθόντες τῷ τεμένει πόθῳ, Μαῦρας ὡς ἐκ κρήνης ἀρύσασθε ἴαμα, νοσημάτων κατάλληλον ἐξ αὐτοῦ.
Πύλη τῆς Ἐδὲμ, σοὶ ἠνοίχθη Ἀθληφόρε Μαῦρα, κεκαλλωπισμένην ἰδοῦσα πάθος Χριστοῦ, καὶ ἠμφιεσμένην, στολὴν τὴν ἀθλητικὴν.
Παῖδας θαυμαστῶς ὑψοῤῥόφου πύργου, ἐμπεσόντα φανεῖσα Μαῦρα διέσωσας, εἰς κατάπληξιν τοῦ πλήθους τῶν ἐκεῖ.

Δόξα.

Ἄναρχε Τριὰς, ἑνιαία μοι κυριαρχία, Μαύρα ἱκεσίαις θείαις περίσωζε, τοῦς λατρεύοντας τῷ κράτει σου σεπτῶς.

Καὶ νῦν.

Δέσποινα Ἁγνὴ, Παναγία τῶν Ἀγγέλων δόξα, καὶ μερόπων σκέπη, ἡ ἄμαχος, ἐγκλημάτων μου καθάρισον πληθύν.

## **Στάσις γ΄.**

Αἱ γενεαὶ πᾶσαι.

Αἱ τάξεις τῶν Ἀγγέλων, ἤγαγον γηθοσύνως, σὸν πνεῦμα πρὸς τὸν Κτίστην.

Σταυρωθεὶς ἰκρίῳ, ὡς ὁ Δεσπότης κόσμου, τρυφᾷς τοῦ θείου κάλλους.

Ῥωσθεῖσα τῇ δυνάμει, τοῦ Παρακλήτου Μαῦρα, ᾔσχυνας τὸν Βελίαρ.

Ἀρδευθεῖσα ῥείθροις, αἱμάτων σου τῆς πλάνης, ἐξήρανας χειμάῤῥους.

Ὡς τρυφῆν ἡδεῖαν, λελόγισαι βασάνους, διὰ Τοῦ πάντων Κτίστην.

Ξοάνοις ἀσεβείας, οὐκ ἔνειμας λατρείαν, εὔφρων Μαῦρα γενναῖα.

Πετάσασα εἰς ὕψος, τοῦ οὐρανοῦ σὺν νόοις, ᾄδεις Θεῷ ἀπαύστως.

Ὁ κώδων ἐκ τοῦ πύργου, πεσὼν ἐπὶ κρανίου, παιδὸς οὐδὲν ὑπέστη.

Ὀχετοὶ αἱμάτων, ἀθλητικῶν σου Μαῦρα, ἔσβεσαν ἀθεΐαν.

Ξυνωρὶς Ἁγία, Τιμόθεε, καὶ Μαῦρα, τήρει ἡμᾶς ἀτρώτους.

Δόξα.

Τριὰς ὦ Παναγία, τόν κόσμον ἐν εἰρήνῃ, φύλαττε δυσωποῦμεν.

Καὶ νῦν.

Ἐλπίς μου Παναγία, ὑπάρχουσα τὸ αἶσχος, καθάρισον ψυχῆς μου.